καὶ καθάπερ τὰ πρὸ ἡμῶν οὐδὲν ἦν πρὸς ἡμᾶς, οὕτως οὐδὲ
F τὰ μεθ' ἡμᾶς οὐδὲν ἔσται πρὸς ἡμᾶς·

'ἄλγος' γὰρ ὄντως 'οὐδὲν ἅπτεται νεκροῦ'
(Aesch. fr. 255).

'τὸ' γὰρ 'μὴ γενέσθαι τῷ θανεῖν ἴσον λέγω'
(Eurip. Troad. 636).

ἡ γὰρ αὐτὴ κατάστασίς ἐστι τῇ πρὸ τῆς γενέσεως ἡ μετὰ τὴν τελευτήν. ἀλλ' οἴει σὺ διαφορὰν εἶναι [ἢ] μὴ γενέσθαι ἢ γενόμενον ἀπογενέσθαι; εἰ μὴ καὶ τῆς οἰκίας καὶ τῆς ἐσθῆτος ἡμῶν μετὰ τὴν φθορὰν ὑπολαμβάνεις τινὰ διαφορὰν εἶναι
110 πρὸς τὸν ὃν οὐδέπω κατεσκευάσθη χρόνον· | εἰ δ' ἐπὶ τούτων οὐδὲν ἔστι, δῆλον ὡς οὐδ' ἐπὶ τοῦ θανάτου πρὸς τὴν πρὸ τῆς γενέσεως κατάστασιν ἔστι διαφορά. χάριεν γὰρ τὸ τοῦ Ἀρκεσιλάου. 'τοῦτο' φησί 'τὸ λεγόμενον κακὸν ὁ θάνατος μόνον τῶν ἄλλων τῶν νενομισμένων κακῶν παρὸν μὲν οὐδένα πώποτ' ἐλύπησεν, ἀπὸν δὲ καὶ προσδοκώμενον λυπεῖ.' τῷ γὰρ ὄντι πολλοὶ διὰ τὴν οὐδένειαν καὶ τὴν πρὸς τὸν θάνατον διαβολὴν ἀποθνήσκουσιν, ἵνα μὴ ἀποθάνωσι. καλῶς οὖν ὁ Ἐπίχαρμος (fr. 245)

'συνεκρίθη' φησί 'καὶ διεκρίθη κἀπῆλθεν ὅθεν ἦλθεν πάλιν,
γᾶ μὲν εἰς γᾶν, πνεῦμα δ' ἄνω· τί τῶνδε χαλεπόν; οὐδὲ ἕν.'

B ὁ Κρεσφόντης δέ που ὁ παρὰ τῷ Εὐριπίδῃ περὶ τοῦ Ἡρακλέους λέγων (fr. 450)

'εἰ μὲν γὰρ οἰκεῖ' φησί 'νερτέρας ὑπὸ χθονός
ἐν τοῖσιν οὐκέτ' οὖσιν, οὐδὲν ἂν σθένοι'·

τοῦτο μεταποιήσας εἴποις ἄν·

'εἰ μὲν γὰρ οἰκεῖ νερτέρας ὑπὸ χθονός
ἐν τοῖσιν οὐκέτ' οὖσιν, οὐδὲν ἂν πάθοι.'

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/232 UNIVERSITÄT LEIPZIG